κατά γε δὴ τῷ ἑνὶ βέλτιστον, ἕκαστα περαίνουσι. καὶ ταῦτα μὲν
περὶ θεῶν. περὶ δὲ τοῦ παντὸς, πρῶτον μὲν, ὡς ἀΐδιον τόδε
τὸ πᾶν, ᾗπερ οἱ δεύτεροί τε θεοὶ καὶ τρίτοι θεοὶ ἐξ ἀϊδίου γέγονε,
καὶ οὔτ᾽ ἠργμένον χρόνῳ, οὔτ᾽ ἄν ποτε τελευτῆσον. ἔπειθ᾽ ὡς καὶ
ἐκ πολλῶν τῶν πάντων, εἰς ἕν τι ἡρμοσμένον. εἶθ᾽ ὡς ἄριστα ἐκ
τῶν ἐνόντων, τῷ πεποιηκότι ὅτι δὴ μάλιστα ἀρίστῳ ὄντι μεμη-
χανημένον, οὐ λείποντι οὐδ᾽ ἥντινοῦν ὑπερβολήν. ἐπὶ τέλος
αὖ, ὡς καὶ ὡσαύτως ἀεὶ ἐν τῷ καθεστηκότι σχήματι σωζόμε-
νον ἀπαρακίνητον. τοσαῦτ᾽ οὖν καὶ περὶ τοῦ παντός. περὶ δὲ
αὖ ἡμῶν αὐτῶν, πρῶτον μὲν ὡς θεοῖς ἡ ψυχὴ ἡμῶν οὖσα
συγγενής, ἀθάνατός τε μένει ἐν οὐρανῷ τῷδε τὸν ἅπαντα
χρόνον καὶ ἀΐδιος. ἔπειθ᾽ ὡς καὶ σώματι τῷ θνητῷ τῷδε, ὑπὸ
θεῶν κοινωνήσουσα ἑκάστοτε, ἄλλοτε ἄλλῳ καταπέμπεται.
τῆς τοῦ παντὸς ἕνεκα ἁρμονίας. ὡς καὶ θνητῶν ἀθανάτοις, ἔν τε
ἡμῖν καὶ εἴδει τῷ ἡμετέρῳ κοινωνούντων, τὸ πᾶν καὶ ταύτῃ αὐτὸ
αὑτῷ συνδέοιτο; εἶθ᾽ ὡς τὸ καλὸν ἡμῖν οἰκείως τῇ πρὸς θεοὺς συγ-
γενείᾳ, τὸ προσῆκον τοῦ βίου τέλος. ἐπὶ δὲ πᾶσιν, ὡς καὶ τὸ εὐδαι-
μον ἡμῖν, ἐν τῷ ἀθανάτῳ ἡμῶν. ὃ καὶ τῆς οὐσίας ἀνθρώπου ἐστὶ
τὸ κυριώτατον, ὑπὸ τῶν τὸ γένος ἡμῶν συστησαμένων θεῶν
ὡρίσαι. ταῦτα δὴ δώδεκα σύμπαντα κεφάλαια, περί τε
θεῶν καὶ τοῦ παντὸς τοῦδε, καὶ φύσεως τῆς ἡμετέρας εἰδέναι τε
δεῖν τε νομίζειν, εἰ μέλλοι τις ἃ χρὴ ὡς μάλιστα φρονεῖν, καὶ φρό-
νιμος τῷ ὄντι ἔσεσθαι: οὐκ ἰδίᾳ χρώμενα διανοίᾳ, ὑπὸ δὲ ψυχῆς
τῆς τοῦδε ἡγουμένης τοῦ οὐρανοῦ ἀγόμενα τῆς τοῦ ἡλίου. ἔτι δὲ πρό-
νου τε καὶ νῶν τῶν ἄλλων, ἄλλων προεστηκότων χωριστῶν. οἳ
παρὰ τοῦ ἡλίου παραλαμβάνοντες ἕκαστα, τῆς τε γενέσεως καὶ
τοῦ βίου κατάρχοντες αὐτοῖς, ἄγουσι καὶ αὐτοὶ ἤδη, κατά τε ἐν μὲν
σφίσι καθ᾽ ἓν ἐνόντα. ἐν δ᾽ αὐτοῖς τοῖς ἀγομένοις, διακριβοῦν προσ-
γίγνεσθαι πεφυκότα. ἅτ᾽ οὖν ὑπὸ τούτων τὰ θηρίων ἀγόμενα
θειοτέρων, τά τ᾽ ἄλλα οὐ περιέργως ποιεῖ. οὔτε γὰρ ἂν ὑπὸ ἰδίας
ἐπὶ τὸ περίεργον διανοίας ἄγοιτο. οὐ γάρ ἐστιν αὐτοῖς, οὔτ᾽ ἂν ὑπὸ τῶν
ἔξωθεν ἀγόντων θειοτέρων. τούτων νῶν, οὐδὲ γὰρ θέμις, καὶ δὴ καὶ τὴν
τοιαύτην πρᾶξιν, πολὺ ὀρθότερον κατά γε τοῦτο τῶν ἀνθρώπων πράτ-
τει. ἄνθρωποι μὲν γὰρ, ὑπὸ τοῦ καὶ ἰδίᾳ διανοίᾳ τε καὶ δόξῃ χρῆσθαι
ἁμαρτητῇ μέντοι αὐτῇ χρῆσθαι, συχνὰ ἔν τε ἄλλοις. καὶ δὴ καὶ ἐν τῇ τοι-
αύτῃ πράξει ἁμαρτάνουσιν. οὐ κατὰ φύσιν μέν. περιεργοτέρᾳ δὲ
μόνον αὐτῇ χρώμενοι, ἀλλ᾽ ἤδη καὶ παρὰ φύσιν. ὃ καὶ κομιδῇ ἤδη

Sect. II.
Περὶ τοῦ παντός.
Κεφ. δ.

NB.

Greg. de Theol. Lib. I. οὐκ ἄρχεται γὰρ ὑπὸ χρόνου ὁ χρόνων δεσπότης.

Schol. ad Eurip. Androm. ἀσιάτιδος γῆς σχῆμα, κάλλος, εὐπρέπεια, κόσμος, ἀξίωμα, δόξα.

γρ. ἡλ.
* Sch. νόοι
* Sch. ἀγόμενα